# *ANTHOLOGIA GRAECA*

[любовные эпиграммы]

5.170. **ΝΟΣΣΙΔΟΣ**
Ἅδιον οὐδὲν ἔρωτος· ἃ δ' ὄλβια, δεύτερα πάντα
 ἐστίν· ἀπὸ στόματος δ' ἔπτυσα καὶ τὸ μέλι.
τοῦτο λέγει Νοσσίς· τίνα δ' ἁ Κύπρις οὐκ ἐφίλησεν,
 οὐκ οἶδεν τήνα γ', ἄνθεα ποῖα ῥόδα.

12.131. **ΠΟΣΕΙΔΙΠΠΟΥ**
Ἁ Κύπρον ἅ τε Κύθηρα καὶ ἃ Μίλητον ἐποιχνεῖς
 καὶ καλὸν Συρίης ἱπποκρότου δάπεδον,
ἔλθοις ἵλαος Καλλιστίῳ, ἣ τὸν ἐραστὴν
 οὐδέποτ' οἰκείων ὦσεν ἀπὸ προθύρων.

5.96. **ΜΕΛΕΑΓΡΟΥ**
Ἰξὸν ἔχεις τὸ φίλημα, τὰ δ' ὄμματα, Τιμάριον, πῦρ·
 ἢν ἐσίδῃς, καίεις· ἢν δὲ θίγῃς, δέδεκας.

5.155. **ΜΕΛΕΑΓΡΟΥ**
Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
 ψυχὴν τῆς ψυχῆς ἔπλασεν αὐτὸς Ἔρως.

5.46. **ΦΙΛΟΔΗΜΟΥ**
Χαῖρε σύ. – "Καὶ σύ γε χαῖρε." – Τί δεῖ σε καλεῖν; – "Σὲ δέ;" – Μήπω
 τοῦτο· φιλόσπουδος. – "Μηδὲ σύ." – Μή τιν' ἔχεις; –
"Αἰεὶ τὸν φιλέοντα." – Θέλεις ἅμα σήμερον ἡμῖν
 δειπνεῖν; – "Εἰ σὺ θέλεις." – Εὖγε· πόσου παρέσῃ; –
"Μηδέν μοι προδίδου ..." – Τοῦτο ξένον. – "ἀλλ' ὅσον ἄν σοι
 κοιμηθέντι δοκῇ, τοῦτο δός." – Οὐκ ἀδικεῖς.
ποῦ γίνῃ; πέμψω ... – "Καταμάνθανε." – Πηνίκα δ' ἥξεις; –
 "Ἣν σὺ θέλεις ὥρην." – Εὐθὺ θέλω. – "Πρόαγε."

[насмешливые (скоптические) эпиграммы]

11.215. **ΛΟΥΚΙΛΛΙΟΥ**
Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱοὺς
 οὐδ' ἀπὸ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

11.68. **ΛΟΥΚΙΛΛΙΟΥ**
Τὰς τρίχας, ὦ Νίκυλλα, τινὲς βάπτειν σε λέγουσιν,
 ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

11.315. **ΛΟΥΚΙΛΛΙΟΥ**
Εἴσιδεν Ἀντίοχος τὴν Λυσιμάχου ποτὲ τύλην,
 κοὐκέτι τὴν τύλην εἴσιδε Λυσίμαχος.

11.113. **ΛΟΥΚΙΛΛΙΟΥ**
Τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος·
καὶ λίθος ὢν καὶ Ζεύς, σήμερον ἐκφέρεται.

11.257. **ΛΟΥΚΙΛΛΙΟΥ**
Ἑρμογένην τὸν ἰατρὸν ἰδὼν Διόφαντος ἐν ὕπνοις
οὐκέτ' ἀνηγέρθη καὶ περίαμμα φέρων.

11.120. **ΝΙΚΑΡΧΟΥ**
Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
Σωκλῆς τετραπέδους τρεῖς ἐπέθηκε λίθους
τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν· ἀλλὰ πιεσθεὶς
τέθνηκεν, γέγονεν δ' ὀρθότερος κανόνος.

11.121. **ΝΙΚΑΡΧΟΥ**
Χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος·
"Ζῶν γὰρ χωλεύειν," φησίν, "ἔμελλε τάλας."

11.278. **ΛΟΥΚΙΛΛΙΟΥ**
Ἔξω παιδεύεις Πάριδος κακὰ καὶ Μενελάου
ἔνδον ἔχων πολλοὺς σῆς Ἑλένης Πάριδας.

11.279. **ΛΟΥΚΙΛΛΙΟΥ**
Οὐδεὶς γραμματικῶν δύναταί ποτε <ὄλβιος> εἶναι
ὀργὴν καὶ μῆνιν καὶ χόλον εὐθὺς ἔχων.

11.280. **ΠΑΛΛΑΔΑ**
Βέλτερον Ἡγέμονος ληστοκτόνου ἐς κρίσιν ἐλθεῖν
ἢ τοῦ χειρουργοῦ Γενναδίου παλάμας.
ὃς μὲν γὰρ φονέας ὁσίως στυγέων κατατέμνει,
ὃς δὲ λαβὼν μισθοὺς εἰς Ἀίδην κατάγει.

11.287. **ΠΑΛΛΑΔΑ**
Ὁ τὴν γυναῖκα τὴν ἄμορφον δυστυχῶν
λύχνους ἀνάψας ἑσπέρας σκότος βλέπει.

11.340. **ΠΑΛΛΑΔΑ**
Ὤμοσα μυριάκις ἐπιγράμματα μηκέτι ποιεῖν,
πολλῶν γὰρ μωρῶν ἔχθραν ἐπεσπασάμην·
ἀλλ' ὁπόταν κατίδω τοῦ Παφλαγόνος τὸ πρόσωπον
Πανταγάθου, στέξαι τὴν νόσον οὐ δύναμαι.

11.381. **ΠΑΛΛΑΔΑ**
Πᾶσα γυνὴ χόλος ἐστίν· ἔχει δ' ἀγαθὰς δύο ὥρας,
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.